www.e-rara.ch

# Antonini Liberalis Transformationum congeries

**Antoninus**

**Basileae, 1568**

**Universitätsbibliothek Basel**

Persistent Link: https://doi.org/10.3931/e-rara-153

Markou Antōninou autokratoros, tōn eis heauton biblion 5.

**www.e-rara.ch**
Die Plattform e-rara.ch macht die in Schweizer Bibliotheken vorhandenen Drucke online verfügbar. Das Spektrum reicht von Büchern über Karten bis zu illustrierten Materialien – von den Anfängen des Buchdrucks bis ins 20. Jahrhundert.

e-rara.ch provides online access to rare books available in Swiss libraries. The holdings extend from books and maps to illustrated material – from the beginnings of printing to the 20th century.

e-rara.ch met en ligne des reproductions numériques d'imprimés conservés dans les bibliothèques de Suisse. L'éventail va des livres aux documents iconographiques en passant par les cartes – des débuts de l'imprimerie jusqu'au 20e siècle.

e-rara.ch mette a disposizione in rete le edizioni antiche conservate nelle biblioteche svizzere. La collezione comprende libri, carte geografiche e materiale illustrato che risalgono agli inizi della tipografia fino ad arrivare al XX secolo.

**Nutzungsbedingungen** Dieses Digitalisat kann kostenfrei heruntergeladen werden. Die Lizenzierungsart und die Nutzungsbedingungen sind individuell zu jedem Dokument in den Titelinformationen angegeben. Für weitere Informationen siehe auch [Link]

**Terms of Use** This digital copy can be downloaded free of charge. The type of licensing and the terms of use are indicated in the title information for each document individually. For further information please refer to the terms of use on [Link]

**Conditions d'utilisation** Ce document numérique peut être téléchargé gratuitement. Son statut juridique et ses conditions d'utilisation sont précisés dans sa notice détaillée. Pour de plus amples informations, voir [Link]

**Condizioni di utilizzo** Questo documento può essere scaricato gratuitamente. Il tipo di licenza e le condizioni di utilizzo sono indicate nella notizia bibliografica del singolo documento. Per ulteriori informazioni vedi anche [Link]

# ΜΑΡΚΟΥ ἈΝΤΩΝΙΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ε.

ΌΡΘΡΟΥ ὅταν δυσόκνως ἐξεγείρῃ, πρόχειρον ἔστω, ὅτι ἐπὶ ἀνθρώπου ἔργον ἐγείρομαι. τί οὖν δυσκολαίνω εἰ πορεύομαι ἐπὶ τὸ ποιεῖν, ὧν ἕνεκεν γέγονα, καὶ ὧν χάριν προῆγμαι εἰς τὸν κόσμον. ἢ ἐπὶ τοῦτο κατεσκεύασμαι, ἵνα κατακείμενος τοῖς στρωματίοις ἐμαυτὸν θάλπω. ἀλλὰ τοῦτο ἥδιον. πρὸς τὸ ἥδεσθαι οὖν γέγονας, ὅλως δὲ οὐ πρὸς τὸ ποιεῖν ἢ πρὸς ἐνέργειαν; οὐ βλέπεις τὰ φυτάρια, τὰ στρουθάρια, τοὺς μύρμηκας, τοὺς ἀράχνας, τὰς μελίσσας, τὸν καθ' αὑτὰς συγκοσμούσας κόσμον· σὺ οὐ θέλεις τὰ ἀνθρωπικὰ ποιεῖν; οὐ τρέχεις ἐπὶ τὸ κατὰ τὴν σὴν φύσιν; ἀλλὰ δεῖ καὶ ἀναπαύεσθαι. δεῖ. ἔδωκε καὶ τούτου μέτρα ἡ φύσις. ἔδωκε μὲν τοι καὶ τοῦ ἐσθίειν, καὶ πίνειν· καὶ ὅμως σύ, ὑπὲρ τὰ μέτρα, ὑπὲρ τὰ ἀρκοῦντα προχωρεῖς. ἐν ταῖς πράξεσι, δὲ οὐκ ἔτι ἀλλ' ἐντὸς τοῦ δυνατοῦ. οὐ γὰρ φιλεῖς σεαυτόν. ἐπεί τοι καὶ τὴν φύσιν ἂν σοῦ, καὶ τὸ βούλημα ταύτης ἐφίλεις. ἄλλοι τὰς

τέχνας ἑαυτῶν φιλοῦντες, συγκατατήκονται τοῖς κατ' αὐτὰς ἔργοις, ἄλουτοι καὶ ἄσιτοι. σὺ τὴν φύσιν τὴν σαυτοῦ ἔλασσον τιμᾷς, ἢ ὁ τορνευτὴς τὴν τορνευτικήν. ἢ ὁ ὀρχηστὴς τὴν ὀρχηστικήν· ἢ ὁ φιλάργυρος τὸ ἀργύριον· ἢ ὁ κενόδοξος τὸ δοξάριον. καὶ οὗτοι ὅταν προσπαθῶσιν, οὔτε φαγεῖν, οὔτε κοιμηθῆναι θέλουσι μᾶλλον, ἢ ταῦτα συναύξειν πρὸς ἃ φέρονται. σοὶ δὲ αἱ κοινωνικαὶ πράξεις εὐτελέστεραι φαίνονται, καὶ ἥσσονος σπουδῆς ἄξιαι; Ὡς εὔκολον ἀπώσασθαι, καὶ ἀπαλεῖψαι πᾶσαν φαντασίαν τὴν ὀχληρὰν, ἢ ἀνοίκειον, καὶ εὐθὺς ἐν πάσῃ γαλήνῃ εἶναι. Ἄξιον ἑαυτὸν κρίνε παντὸς λόγου καὶ ἔργου, τοῦ κατὰ φύσιν, καὶ μή σε παρασπάτω ἡ ἐπακολουθοῦσα τινῶν μέμψις. ἢ λόγος. ἀλλὰ εἰ καλὸν πεπρᾶχθαι, ἢ εἰρῆσθαι, μὴ σεαυτὸν ἀπαξίου. ἐκεῖνοι μὲν γὰρ, ἴδιον ἡγεμονικὸν ἔχουσι, καὶ ἰδίᾳ ὁρμῇ χρῶνται. ἃ σὺ μὴ περιβλέπου, ἀλλ' εὐθεῖαν πέραινε, ἀκολουθῶν τῇ φύσει τῇ ἰδίᾳ καὶ τῇ κοινῇ. Μία δὲ ἀμφοτέρων τούτων ἡ ὁδός. Πορεύομαι διὰ τῶν κατὰ φύσιν, μέχρι πεσὼν ἀναπαύσωμαι ἀναποπνεύσας μὲν τούτῳ, ἐξ οὗ καθ' ἡμέραν ἀναπνέω. πεσὼν δὲ ἐπὶ τούτῳ, ἐξ οὗ καὶ τὸ σπερμάτιον ὁ πατήρ μου συνέλεξε, καὶ τὸ αἱμάτιον ἡ μήτηρ, καὶ τὸ γαλάκτιον ἡ τροφός, ἐξ οὗ καθ' ἡμέραν τοσούτοις ἔτεσι βόσκομαι, καὶ ἀρδεύομαι, ὃ φέρει με πατοῦντα, καὶ εἰς τοσαῦτα

ἀποχρώ-

ἀποχρώμενον ἑαυτῷ· Δριμύτητά σου οὐκ ἔχουσι θαυμάσαι; ἔστω· ἀλλὰ ἕτερα πολλά, ἐφ' ὧν οὐκ ἔχεις εἰπεῖν, οὐ γὰρ πέφυκα. ἐκεῖνα οὖν παρέχου, ἅπερ ὅλα ἐστὶν ἐν σοί· τὸ ἀκίβδηλον, τὸ σεμνόν, τὸ φερέπονον, τὸ ἀφιλήδονον, τὸ ἀμεμψίμοιρον, τὸ ὀλιγοδεές, τὸ εὐμενές, τὸ ἐλεύθερον, τὸ ἀπερίσσον, τὸ ἀφλύαρον, τὸ μεγαλεῖον, οὐκ αἰσθάνῃ, πόσα ἤδη παρέχεσθαι δυνάμενος, ἐφ' ὧν οὐδεμία ἀφυΐας καὶ ἀνεπιτηδειότητος πρόφασις, ὅμως ἔτι κάτω μένεις ἑκών; Ἢ καὶ γογγύζειν, καὶ γλισχρεύεσθαι, καὶ κολακεύειν, καὶ τὸ σωμάτιον καταιτιᾶσθαι, καὶ ἀρέσκεσθαι, καὶ περπερεύεσθαι, καὶ τοσαῦτα ῥιπτάζεσθαι τῇ ψυχῇ, διὰ τὸ ἀφυῶς κατεσκευάσθαι ἀναγκάζῃ; οὔ, μὰ τοὺς θεούς, ἀλλὰ τούτων μὲν πάλαι ἀπηλλάχθαι ἐδύνασο. μόνον δὲ εἰ ἄρα ὡς βραδύτερος, καὶ δυσπαρακολουθητότερος καταγινώσκεσθαι. καὶ τοῦτο δὲ ἀσκητέον μὴ παρενθυμουμένῳ, μηδὲ ἐμφιληδονοῦντι τῇ νωθείᾳ. Ὁ μέν τίς ἐστιν, ὅταν τι δεξιὸν περί τινα πράξῃ, πρόχειρος καὶ λογίσασθαι αὐτῷ τὴν χάριν. ὁ δὲ πρὸς τοῦτο μὲν οὐ πρόχειρος, ἄλλως μέντοι παρ' ἑαυτῷ, ὡς περὶ χρεώστου διανοεῖται, καὶ οἶδεν ὃ πεποίηκεν. ὁ δέ τις τρόπον τινὰ οὐδὲ οἶδεν ὃ πεποίηκεν· ἀλλὰ ὅμοιός ἐστιν ἀμπέλῳ βότρυν ἐνεγκούσῃ, καὶ μηδὲν ἄλλο προσεπιζητούσῃ, μετὰ τὸ ἅπαξ τὸν ἴδιον καρπὸν

ἐνηνο-

ἐνηνοχέναι. Ἵππος δραμὼν, κύων ἰχνεύσας, μέλισσα μέλι ποιήσασα, ἄνθρωπος δὲ εὖ ποιήσας οὐκ ἐπιβοᾶται· ἀλλὰ μεταβαίνει ἐφ' ἕτερον ὡς ἄμπελος ἐπὶ τὸ πάλιν ἐν τῇ ὥρᾳ τὴν βότρυν ἐνεγκεῖν. ἐν τούτοις οὖν δεῖ εἶναι, τοῖς τρόπον τινὰ ἀπαρακολουθήτως αὐτὸ ποιοῦσι; ναί. ἀλλ' αὐτὸ τοῦτο, δεῖ παρακολουθεῖν. ἴδιον γάρ φησι τοῦ κοινωνικοῦ, τὸ αἰσθάνεσθαι ὅτι κοινωνικῶς ἐνεργεῖ. καὶ νὴ Δία βούλεσθαι καὶ τὸν κοινωνὸν αἰσθέσθαι. ἀληθὲς μὲν ἐστὶ ὃ λέγεις· τὸ δὲ νῦν λεγόμενον παρεκδέχῃ. διὰ τοῦτο ἔσῃ εἷς ἐκείνων, ὧν πρότερον ἐπεμνήσθην. καὶ γὰρ ἐκεῖνοι λογικῇ τινὶ πιθανότητι παράγονται. ἐὰν δὲ θελήσῃς συνεῖναι τί ποτέ ἐστι τὸ λεγόμενον, μὴ φοβοῦ, μὴ παρὰ τοῦτο παραλίπῃς τι ἔργον κοινωνικόν.

Εὐχὴ Ἀθηναίων, ὖσον, ὖσον ὦ φίλε Ζεῦ κατὰ τῆς ἀρούρας τῆς Ἀθηναίων καὶ τῶν πεδίων. ἤτοι οὐ δεῖ εὔχεσθαι, ἢ οὕτως ἁπλῶς καὶ ἐλευθέρως.

Ὁποῖόν ἐστι τὸ λεγόμενον, ὅτι συνέταξεν ὁ Ἀσκληπιὸς τούτῳ ἱππασίαν· ἢ ψυχρολουσίαν, ἢ ἀνυποδησίαν· τοιοῦτόν ἐστι καὶ τὸ συνέταξεν τούτῳ ἡ τῶν ὅλων φύσις, νόσον, ἢ πήρωσιν, ἢ ἀποβολὴν ἢ ἄλλό τι τῶν τοιούτων. καὶ γὰρ ἐκεῖ τὸ συνέταξεν τοιοῦτόν τι σημαίνει. ἔταξε τοῦτο πρὸς τοῦτο, ὡς κατάλληλον εἰς ὑγίειαν. καὶ ἐνταῦθα τὸ συμβαῖνον ἑκάστῳ τέτακταί πως

πρὸς

πρὸς αὐτὸν κατάλληλον εἰς τὴν εἱμαρμένην.
οὕτως γὰρ καὶ συμβαίνειν αὐτὰ ἡμῖν λέγομεν,
ὡς καὶ τοὺς τετραγώνους λίθους ἐν τοῖς τείχε-
σι, ἢ ταῖς πυραμίσι συμβαίνειν οἱ τεχνῖται λέ-
γουσι, συναρμόζοντας ἀλλήλοις τῇ ποιᾷ συν-
θέσει. ὅλως γὰρ ἁρμονία ἐστὶ μία. καὶ ὥσπερ
ἐκ πάντων τῶν σωμάτων ὁ κόσμος τοιοῦτον
σῶμα συμπληροῦται, οὕτως ἐκ πάντων τῶν
αἰτιῶν ἡ εἱμαρμένη τοιαύτη αἰτία συμπληροῦ-
ται. Νοοῦσι δὲ ὃ λέγω, καὶ οἱ τέλεον ἰδιῶται.
φασὶ γὰρ τοῦτο ἔφερεν αὐτῷ. οὐκοῦν τοῦτο τού-
τῳ ἐφέρετο, καὶ τοῦτο τούτῳ συνετάττετο. δε-
χώμεθα οὖν αὐτὰ, ὡς ἐκεῖνα ὁ Ἀσκληπιὸς συν-
τάττει. πολλὰ γοῦν καὶ ἐν ἐκείνοις ἐστὶ τραχέα·
ἀλλὰ ἀσπαζόμεθα τῇ ἐλπίδι τῆς ὑγιείας. τοιοῦ-
τόν τι σοι δοκείτω, ἄνυσις καὶ συντέλεια τῶν τῇ
κοινῇ φύσει δοκούντων, οἷον ἡ σὴ ὑγίεια. καὶ οὕ-
τως ἀσπάζου πᾶν τὸ γινόμενον, κἂν ἀπηνέστε-
ρον δοκῇ, διὰ τὸ ἐκεῖ ἄγειν, ἐπὶ τὴν τοῦ κόσμου
ὑγίειαν, καὶ τὴν τοῦ Διὸς εὐοδίαν καὶ εὐπραγίαν.
οὐ γὰρ ἂν τοῦτό τι ἔφερεν, εἰ μὴ τῷ ὅλῳ συνέφε-
ρεν. οὐδὲ γὰρ ἡ τυχοῦσα φύσις φέρει τι, ὃ μὴ τῷ διοι-
κουμένῳ ὑπ' αὐτῆς κατάλληλόν ἐστι. Οὐκοῦν κατὰ
δύο λόγους στέργειν χρὴ τὸ συμβαῖνόν σοι. καθ'
ἕνα μὲν, ὅτι σοὶ ἐγίνετο, καὶ σοὶ συνετάττετο,
καὶ πρός σέ πως εἶχεν ἄνωθεν ἐκ τῶν πρεσβυ-
τάτων

τὰ τῶν αἰτίων συγκλωθόμενον. καθ' ἕτερον δέ, ὅτι τῷ τὸ ὅλον διοικοῦντι τῆς εὐοδίας καὶ τῆς συντελείας, καὶ νὴ Δία τῆς συμμονῆς αὐτῆς αἴτιόν ἐστι. πηροῦται γὰρ τὸ ὁλόκληρον, ἐὰν καὶ ὁτιοῦν διακόψῃς τῆς συναφείας τε καὶ συνεχείας ὥσπερ τῶν μορίων, οὕτω δὲ καὶ τῶν αἰτίων. διακόπτεις δὲ ὅσον ἐπὶ σοί, ὅταν δυσαρεστῇς, καὶ τρόπον τινὰ ἀναιρεῖς. Μὴ σικχαίνειν μηδὲ ἀπαυδᾶν, μηδὲ ἀποδυσπετεῖν, εἰ μὴ κατὰ πυκνοῦταί σοι τὸ ἀπὸ δογμάτων ὀρθῶν ἕκαστα πράσσειν. ἀλλὰ ἐκκρουσθέντα, πάλιν ἐπανιέναι, καὶ ἀσμενίζειν εἰς τὰ πλείω ἀνθρωπικώτερα, καὶ φιλεῖν τοῦτο, ἐφ' ὃ ἐπανέρχῃ. καὶ μὴ ὡς πρὸς παιδαγωγὸν τὴν φιλοσοφίαν ἐπανιέναι. ἀλλ' ὡς οἱ ὀφθαλμιῶντες πρὸς τὸ σπογγάριον καὶ τὸ ᾠόν, ὡς ἄλλος πρὸς κατάπλασμα, ὡς πρὸς καταιόνησιν· οὕτως γὰρ οὐδὲν ἐπιδείξει τὸ πειθαρχεῖν τῷ λόγῳ, ἀλλὰ προσαναπαύσῃ αὐτῷ. Μέμνησο δὲ ὅτι φιλοσοφία μόνα θέλει ἃ ἡ φύσις σου θέλει· σὺ δὲ ἄλλο ἤθελες οὐ κατὰ φύσιν. τί γὰρ τούτων προσηνέστερον; ἡ γὰρ ἡδονὴ οὐχὶ διὰ τοῦτο σφάλλει; ἀλλὰ θέασαι εἰ προσηνέστερον μεγαλοψυχία, ἐλευθερία, ἁπλότης, εὐγνωμοσύνη, ὁσιότης. αὐτῆς γὰρ φρονήσεως τί προσηνέστερον; ὅταν τὸ ἄπταιστον καὶ εὔρουν ἐν πᾶσι τῆς παρακολουθητικῆς καὶ ἐπιστημονικῆς δυνάμεως ἐνθυμηθῇς. Τὰ μὲν πράγματα

ἐν τοιαύ-

ἐν τοιαύτῃ τρόπον τινὰ ἐγκαλύψει ἐστὶν, ὥστε φιλοσόφοις οὐκ ὀλίγοις οὐδὲ τοῖς τυχοῦσιν ἔδοξεν παντάπασιν ἀκατάληπτα εἶναι, πλὴν αὐτοῖς γε τοῖς Στωϊκοῖς δυσκατάληπτα δοκεῖ. καὶ πᾶσα ἡ ἡμετέρα συγκατάθεσις, μεταπτωτή, ποῦ γὰρ ὁ ἀμετάπτωτος; μέτελθε τοίνυν ἐπ᾽ αὐτὰ τὰ ὑποκείμενα, ὡς ὀλιγοχρόνια, καὶ εὐτελῆ, καὶ δυνάμενα ἐν κτήσει κιναίδου, ἢ πόρνης, ἢ λῃστοῦ εἶναι. μετὰ τοῦτο ἔπιθι ἐπὶ τὰ τῶν συμβιούντων ἤθη, ὧν μόλις ἐστὶ καὶ τοῦ χαριεστάτου ἀνασχέσθαι, ἵνα μὴ λέγω ὅτι καὶ ἑαυτόν τις μόγις ὑπομένει. Ἐν τοιούτῳ οὖν ζόφῳ, καὶ ῥύπῳ καὶ τοσαύτῃ ῥύσει τῆς τε οὐσίας, καὶ τοῦ χρόνου, καὶ τῆς κινήσεως, καὶ τῶν κινουμένων, τί ποτ᾽ ἐστὶ τὸ ἐκτιμηθῆναι ἢ τὸ ὅλως σπουδασθῆναι δυνάμενον, οὐδ᾽ ἐπινοῶ. τοὐναντίον γὰρ δεῖ παραμυθούμενον ἑαυτὸν περιμένειν τὴν φυσικὴν λύσιν, καὶ μὴ ἀγανακτεῖν τῇ διατριβῇ, ἀλλὰ τούτοις μόνοις προσαναπαύεσθαι. ἑνὶ μὲν τῷ ὅτι οὐδὲν συμβήσεταί μοι, ὃ οὐχὶ κατὰ τὴν τῶν ὅλων φύσιν ἐστίν. ἑτέρῳ δὲ, ὅτι ἔξεστί μοι μηδὲν πράσσειν παρὰ τὸν ἐμὸν θεὸν καὶ δαίμονα. οὐδεὶς γὰρ ὁ ἀναγκάσων τοῦτον παραβῆναι. Πρὸς τί ποτε ἄρα νῦν χρῶμαι τῇ ἐμαυτοῦ ψυχῇ; παρ᾽ ἕκαστον τοῦτο ἐπανερωτᾶν ἑαυτὸν, καὶ ἐξετάζειν, τί μοί ἐστι νῦν ἐν τούτῳ τῷ μορίῳ, ὃ δὴ ἡγεμονικὸν καλοῦσι; καὶ τίνος ἄρα νῦν ἔχω ψυχήν, μήτι παιδίου; μήτι μειρακίου,

μήτε

μή τι γυναικεῖον, μή τι τυράννου; μή τι κτήνους, μή τι θηρίου; Ὁποῖά τινα ἐστὶ τὰ τοῖς πολλοῖς δοκοῦντα ἀγαθὰ, καὶ ἐντεῦθεν λάβοις. εἰ γάρ τις ἐπινοήσειεν ὑπάρχοντά τινα ὡς ἀληθῶς ἀγαθὰ, οἷον φρόνησιν, σωφροσύνην, δικαιοσύνην, ἀνδρείαν, οὐκ ἂν ταῦτα προεπινοήσας, ἔτι ἀκοῦσαι δυνηθείη τι. ἀπὸ τῶν ἀγαθῶν γὰρ ἐφαρμόσει. τὰ δέ γε τοῖς πολλοῖς φαινόμενα ἀγαθὰ προεπινοήσας τις ἐξακούσεται, καὶ ῥαδίως δέξεται, ὡς οἰκείως ἐπιλεγόμενον τὸ ἀπὸ τοῦ κωμικοῦ εἰρημένον. οὕτως καὶ οἱ πολλοὶ φαντάζονται τὴν διαφοράν. οὐ γὰρ ἂν τοῦτο μὲν οὐ προσέκοπτεν καὶ ἀπηξιοῦτο· τὸ δὲ ἐπὶ τοῦ πλούτου καὶ τῶν πρὸς τρυφὴν ἢ δόξαν εὐκληρημάτων παρεδεχόμεθα, ὡς ἱκνουμένως καὶ ἀστείως εἰρημένον. πρόϊθι οὖν καὶ ἐρώτα, εἰ τιμητέον καὶ ἀγαθὰ ὑποληπτέον τὰ τοιαῦτα, ὧν προεπινοηθέντων οἰκείως ἂν ἐπιφέροιτο, τὸ τὸν κεκτημένον αὐτὰ ὑπὸ τῆς εὐπορίας, οὐκ ἔχειν ὅποι χέσῃ.

Ἐξ αἰτιώδους καὶ ὑλικοῦ συνέστηκα· οὐδέτερον δὲ τούτων εἰς τὸ μὴ ὂν φθαρήσεται· ὥσπερ οὐδὲ ἐκ τοῦ μὴ ὄντος ὑπέστη, οὐκοῦν καταταχθήσεται πᾶν μέρος ἐμὸν κατὰ μεταβολὴν εἰς μέρος τι τοῦ κόσμου, καὶ πάλιν ἐκεῖνο εἰς ἕτερον μέρος τοῦ κόσμου μεταβαλεῖ· καὶ ἤδη εἰς ἄπειρον.

ἄπειρον. κατὰ τοιαύτην δὲ μεταβολὴν κἀγὼ ὑπέστην, καὶ οἱ ἐμὲ γεννήσαντες, καὶ ἐπανιόντι εἰς ἄλλο ἄπειρον. οὐδὲν γὰρ κωλύει οὕτως φάναι, κἂν κατὰ περιόδους πεπερασμένας ὁ κόσμος διοικῆται.

Ὁ λόγος καὶ ἡ λογικὴ τέχνη δυνάμεις εἰσὶν ἑαυταῖς ἀρκούμεναι, καὶ τοῖς καθ' ἑαυτὰς ἔργοις. ὁρμῶνται μὲν οὖν ἀπὸ τῆς οἰκείας ἀρχῆς. ὁδεύουσι δὲ εἰς τὸ προκείμενον τέλος. καθὸ κατορθώσεις αἱ τοιαῦται πράξεις ὀνομάζονται, τὴν ὀρθότητα τῆς ὁδοῦ σημαίνουσαι. Οὐδὲν τούτων ῥητέον ἀνθρώπου, ἃ ἀνθρώπῳ καθ' ἄνθρωπός ἐστι, οὐκ ἐπιβάλλει. οὐκ ἔστιν ἀπαιτήματα ἀνθρώπου, οὐδὲ ἐπαγγέλλεται αὐτὰ ἡ τοῦ ἀνθρώπου φύσις. οὐδὲ τελειότητές εἰσι τῆς τοῦ ἀνθρώπου φύσεως. οὐ τοίνυν οὐδὲ τὸ τέλος ἐν αὐτοῖς ἐστι τῷ ἀνθρώπῳ κείμενον. οὐδὲ τὸ συμπληρωτικὸν τοῦ τέλους τὸ ἀγαθόν. ἔτι εἰ τούτων ἦν ἐπιβάλλον τῷ ἀνθρώπῳ, οὐκ ἂν τὸ ὑπερφρονεῖν αὐτῶν, καὶ κατεξανίστασθαι, ἐπιβάλλον ἦν. οὐδὲ ἐπαινετὸς ἦν ὁ ἀπροσδεῆ τούτων ἑαυτὸν παρεχόμενος, οὐδ' ἂν ὁ ἐλαττωτικὸς ἑαυτοῦ ἔν τινι τούτων ἀγαθὸς ἦν, εἴπερ ταῦτα ἀγαθὰ ἦν. Νῦν δ' ὅσῳπερ πλείω τις ἀφαιρῶν ἑαυτοῦ τούτων, ἢ τοιούτων ἑτέρων, ἢ καὶ ἀφαιρούμενά τι τούτων ἀνέχηται, τοσῷδε μᾶλλον ἀγαθός ἐστι. Οἷα ἂν πολ-

λάκις φαντασθῇς, τοιαύτη σοι ἔσται ἡ διάνοια. βάπτεται γὰρ ὑπὸ τῶν φαντασιῶν ἡ ψυχή. βάπτε οὖν αὐτὴν, τῇ συνεχείᾳ τῶν τοιούτων φαντασιῶν. οἷον, ὅτι ὅπου ζῆν ἔστιν, ἐκεῖ καὶ εὖ ζῆν. ἐν αὐλῇ δὲ ζῆν ἔστιν, ἔστιν ἄρα καὶ εὖ ζῆν ἐν αὐλῇ. Καὶ πάλιν, ὅτι οὗπερ ἕνεκεν ἕκαστον κατεσκεύασται. πρὸς ὃ δὲ κατεσκεύασται, πρὸς τοῦτο φέρεται. πρὸς ὃ φέρεται δὲ, ἐν τούτῳ τὸ τέλος αὐτοῦ. ὅπου δὲ τὸ τέλος, ἐκεῖ καὶ τὸ συμφέρον, καὶ τἀγαθὸν ἑκάστου. τὸ ἄρα ἀγαθὸν τοῦ λογικοῦ ζῴου, κοινωνία. ὅτι γὰρ πρὸς κοινωνίαν γεγόναμεν, πάλαι δέδεικται. Ἢ οὐκ ἦν ἐναργὲς, ὅτι τὰ χείρω τῶν κρειττόνων ἕνεκεν, τὰ δὲ κρείττω ἀλλήλων; κρείττω δὲ τῶν μὲν ἀψύχων, τὰ ἔμψυχα· τῶν δὲ ἐμψύχων, τὰ λογικά. Τὸ τὰ ἀδύνατα διώκειν, μανικόν. ἀδύνατον δὲ τὸ τοὺς φαύλους μὴ τοιαῦτα τινὰ ποιεῖν. Οὐδενὶ οὐδὲν συμβαίνει, ὃ οὐχὶ ἐκεῖνο πέφυκεν φέρειν αὐτῷ. ἄλλῳ τὰ αὐτὰ συμβαίνει. καὶ ἤτοι ἀγνοῶν ὅτι συμβέβηκεν, ἢ ἐπιδεικνύμενος μεγαλοφροσύνην εὐσταθεῖ, καὶ ἀκάκωτος μένει. δεινὸν οὖν ἄγνοιαν καὶ ἀρέσκειαν ἰσχυροτέρας εἶναι φρονήσεως. Τὰ πράγματα αὐτὰ οὐδ᾽ ὁπωστιοῦν ψυχῆς ἅπτεται· οὐδὲ ἔχει εἴσοδον πρὸς ψυχήν· οὐδὲ τρέψαι, οὐδὲ κινῆσαι ψυχὴν δύναται. τρέπει δὲ καὶ κινεῖ αὐτὴ ἑαυτὴν μόνη. καὶ οἵων ἂν κριμά-

των

τὴν καταξιώσῃ ἑαυτὴν, τοιαῦτα ἑαυτῇ ποιεῖ τὰ προσυφεστῶτα. Καθ' ἕτερον μὲν λόγον ἡμῖν ἐστιν οἰκειότατον ἄνθρωπος, καθ' ὅσον εὖ ποιητέον αὐτοὺς καὶ ἀνεκτέον. καθ' ὅσον δὲ ἐνίστανταί τινες εἰς τὰ οἰκεῖα ἔργα, ἕν τι τῶν ἀδιαφόρων μοι γίνεται ὁ ἄνθρωπος, οὐχ ἧσσον ἢ ἥλιος, ἢ ἄνεμος, ἢ θηρίον. ὑπὸ τούτων δὲ ἐνέργεια μέν τις ἐμποδισθείη ἄν. ὁρμῆς δὲ καὶ διαθέσεως, οὐ γίνεται ἐμπόδια διὰ τὴν ὑπεξαίρεσιν, καὶ τὴν περιτροπήν. περιτρέπει γὰρ καὶ μεθίστησι πᾶν τὸ τῆς ἐνεργείας κώλυμα ἡ διάνοια εἰς τὸ προηγούμενον. καὶ πρὸ ἔργου γίνεται τὸ τοῦ ἔργου τούτου ἐφεκτικόν· καὶ πρὸ ὁδοῦ, τὸ τῆς ὁδοῦ ταύτης ἐνστατικόν. Τῶν ἐν τῷ κόσμῳ τὸ κράτιστον τίμα. ἔστι δὲ τοῦτο, τὸ πᾶσι χρώμενον, καὶ πάντα διέπον. ὁμοίως δὲ καὶ τῶν ἐν σοὶ τὸ κράτιστον τίμα. ἔστι δὲ τοῦτο, τὸ ἐκείνῳ ὁμογενές. καὶ γὰρ ἐπὶ σοῦ τὸ τοῖς ἄλλοις χρώμενον, τοῦτό ἐστι, καὶ ὁ σὸς βίος, ὑπὸ τούτου διοικεῖται.

Ὃ τῇ πόλει οὐκ ἔστι βλαβερόν, οὐδὲ τὸν πολίτην βλάπτει. ἐπὶ πάσης τῆς τοῦ βεβλάφθαι φαντασίας. τοῦτον ἔπαγε τὸν κανόνα. εἰ ἡ πόλις ὑπὸ τούτου μὴ βλάπτεται, οὐδὲ ἐγὼ βέβλαμμαι. εἰ δὲ ἡ πόλις βλάπτεται, οὐκ ὀργιστέον τῷ βλάπτοντι τὴν πόλιν. τί τὸ παρορώμενον. Πολλάκις ἐνθυμοῦ, τὸ τάχος τῆς παραφορᾶς καὶ ὑπεξαγωγῆς τῶν

ὄντων τε καὶ γινομένων. ἥ τε γὰρ οὐσία οἷον ποταμὸς ἐν διηνεκεῖ ῥύσει, καὶ αἱ ἐνέργειαι ἐν συνεχέσι μεταβολαῖς, καὶ τὰ αἴτια ἐν μυρίαις τροπαῖς, καὶ σχεδὸν οὐδὲν ἑστώς, ὃ τὸ παρεγγύς. τὸ δὲ ἄπειρον τοῦ τε παρῳχηκότος καὶ μέλλοντος ἀχανὲς, ᾧ πάντα ἐναφανίζεται. πῶς οὖν οὐ μωρός, ὁ ἐν τούτοις φυσώμενος, ἢ σπώμενος, ἢ σχετλιάζων, ὡς ἔν τινι χρόνῳ καὶ ἐπὶ μικρὸν ἐνοχλήσαντι; μέμνησο τῆς συμπάσης οὐσίας, ἧς ὀλίγιστον μετέχεις, καὶ τοῦ σύμπαντος αἰῶνος, οὗ βραχὺ καὶ ἀκαριαῖον σοι διάστημα ἀφώρισται, καὶ τῆς εἱμαρμένης, ἧς πόστον εἶ μέρος. Ἄλλος ἁμαρτάνει τι εἰς ἐμέ, ὄψεται. ἰδίαν ἔχει διάθεσιν, ἰδίαν ἐνέργειαν. ἐγὼ νῦν ἔχω ὅ με θέλει νῦν ἔχειν ἡ κοινὴ φύσις, καὶ πράσσω ὅ με νῦν πράσσειν θέλει ἡ ἐμὴ φύσις. Τὸ ἡγεμονικὸν καὶ κυριεῦον τῆς ψυχῆς σου μέρος, ἄτρεπτον ἔστω, ὑπὸ τῆς ἐν τῇ σαρκὶ λείας ἢ τραχείας κινήσεως. καὶ μὴ συγκιρνέσθω, ἀλλὰ περιγραφέτω αὐτὸ, καὶ περιοριζέτω τὰς πείσεις ἐκείνας ἐν τοῖς μορίοις. ὅταν δὲ ἀναδιδῶνται κατὰ τὴν ἑτέραν συμπάθειαν εἰς τὴν διάνοιαν, ὡς ἐν σώματι ἡνωμένῳ, τότε πρὸς μὲν τὴν αἴσθησιν, φυσικὴν οὖσαν, οὐ πειρατέον ἀντιβαίνειν. τὴν δὲ ὑπόληψιν, τὴν ὡς περὶ ἀγαθοῦ ἢ κακοῦ, μὴ προστιθέτω τὸ ἡγεμονικὸν ἐξ αὐτοῦ. Συζῆν θεοῖς. Συζῇ

δὲ θεοῖς

δὲ θεοῖς ὁ συνεχῶς δεικνὺς αὐτοῖς τὴν ἑαυτοῦ ψυχὴν ἀρεσκομένην μὲν τοῖς ἀπονεμομένοις. ποιοῦσαν δὲ ὅσα βούλεται ὁ δαίμων, ὃν ἑκάστῳ προστάτην καὶ ἡγεμόνα ὁ ζεὺς ἔδωκεν, ἀπόσπασμα ἑαυτοῦ. οὗτος δέ ἐστιν, ὁ ἑκάστου νοῦς καὶ λόγος. Τῷ γράσωνι μήτι ὀργίζῃ; μήτι τῷ ὀζοστόμῳ ὀργίζῃ; τί σοι ποιήσει; τοιοῦτον στόμα ἔχει, τοιαύτας μάλας ἔχει, ἀνάγκη τοιαύτην ἀποφορὰν ἀπὸ τοιούτων γίνεσθαι. Ἀλλ' ὁ ἄνθρωπος λόγον ἔχει φησί, καὶ δύναται συννοεῖν ἐφιστάνων τί πλημμελεῖ. εὖ σοι γένοιτο. τοιγαροῦν καὶ σὺ λόγον ἔχεις, κίνησον λογικῇ διαθέσει, λογικὴν διάθεσιν· δεῖξον, ὑπόμνησον. εἰ γὰρ ἐπαΐει, θεραπεύσεις, καὶ οὐ χρεία ὀργῆς. οὔτε τραγῳδὸς, οὔτε πόρνη. ὡς ἐξελθὼν ζῆν διανοῇ, οὕτως ἐνταῦθα ζῆν ἔξεστιν. Ἐὰν δὲ μὴ ἐπιτρέπωσι, τότε καὶ τοῦ ζῆν ἔξιθι, οὕτως μέν τοι, ὡς μηδὲν κακὸν πάσχων. καὶ καπνός ἐστι, ἀπέρχομαι, τί αὐτὸ πρᾶγμα δοκεῖς. μέχρι δέ με τοιοῦτον οὐδὲν ἐξάγει, μένω ἐλεύθερος. καὶ οὐδείς με κωλύσει ποιεῖν ἃ θέλω. θέλω δὲ κατὰ φύσιν τοῦ λογικοῦ καὶ κοινωνικοῦ ζώου.

Ὁ τοῦ ὅλου νοῦς, κοινωνικός. πεποίηκε γοῦν τὰ χείρω τῶν κρειττόνων ἕνεκεν· καὶ τὰ κρείττω ἀλλήλοις συνήρμοσεν. ὁρᾷς πῶς ὑπέταξε, συνέταξε, καὶ τὸ κατ' ἀξίαν ἀπένειμεν ἑκάστοις, καὶ τὰ

κρατιστεύοντα εἰς ὁμόνοιαν ἀλλήλοις συνήγαγε. πῶς προσενήνεξαι μέχρι νῦν θεοῖς, γονεῦσιν, ἀδελφοῖς, γυναικὶ, τέκνοις, διδασκάλοις, τροφεῦσι, φίλοις, οἰκείοις, οἰκέταις; εἰ πρὸς πάντας σοι μέχρι νῦν ἐστὶ τὸ μήτε τινὰ ῥέξαι ἐξαίσιον, μήτε εἰπεῖν; Ἀναμιμνήσκου δὲ, καὶ δι' οἵων διελήλυθας, καὶ οἷα ἤρκεσας ὑπομεῖναι. καὶ ὅτι πλήρης ἤδη σοι ἱστορία τοῦ βίου, καὶ τελεία ἡ λειτουργία· καὶ πόσα ὦπται καλὰ, καὶ πόσων μὲν ἡδονῶν καὶ πόνων ὑπερεῖδες; πόσα δὲ ἔνδοξα παρεῖδες; εἰς ὅσους δὲ ἀγνώμονας εὐγνώμων ἐγένου; Διὰ τί συγχέουσιν ἄτεχνοι καὶ ἀμαθεῖς ψυχαὶ ἔντεχνον καὶ ἐπιστήμονα; τίς οὖν ψυχὴ ἔντεχνος καὶ ἐπιστήμων; ἡ εἰδυῖα ἀρχὴν καὶ τέλος. καὶ τὸν δι' τῆς οὐσίας διήκοντα λόγον, καὶ διὰ παντὸς τοῦ αἰῶνος κατὰ περιόδους τεταγμένας οἰκονομοῦντα τὸ πᾶν. Ὅσον οὐδέπω σποδὸς, ἢ σκελετὸς, καὶ ἤτοι ὄνομα, ἢ οὐδὲ ὄνομα. τὸ δὲ ὄνομα, ψόφος καὶ ἀπήχημα. τὰ δὲ ἐν τῷ βίῳ πολυτίμητα, κενὰ, καὶ σαπρὰ, καὶ μικρὰ, καὶ κυνίδια διαδακνόμενα, καὶ παιδία φιλόνεικα, γελῶντα, εἶτα εὐθὺς κλαίοντα. πίστις δὲ καὶ αἰδὼς, καὶ δίκη, καὶ ἀλήθεια, πρὸς ὄλυμπον, ἀπὸ χθονὸς εὐρυοδείης. Τί οὖν ἔτι τὸ ἐνταῦθα κατέχον; εἴγε τὰ μὲν αἰσθητὰ, εὐμετά-

βλητα,

βλητα, καὶ οὐχ ἑστῶτα· τὰ δὲ αἰσθητήρια, ἀμυδρὰ καὶ εὐπαρατύπωτα. αὐτὸ δὲ τὸ ψυχάριον, ἀναθυμίασις ἀφ' αἵματος. τὸ δὲ εὐδοκιμεῖν παρὰ τοιούτοις, κενόν. τί οὖν περιμένεις; ἵλεως τὴν εἴτε σβέσιν, εἴτε μετάστασιν. ἕως δὲ ἐκείνης ὁ καιρὸς ἐφίσταται, τί ἀρκεῖ; τί δ' ἄλλο ἢ θεοὺς μὲν σέβειν καὶ εὐφημεῖν· ἀνθρώπους δὲ εὖ ποιεῖν, καὶ ἀνέχεσθαι αὐτῶν καὶ ἀπέχεσθαι. ὅσα δὲ ἐκτὸς ὅρων τοῦ κρεαδίου, καὶ τοῦ πνευματίου, ταῦτα μεμνῆσθαι μήτε σὰ ὄντα, μήτε ἐπὶ σοί. δύνασαι ἀεὶ εὐροεῖν, εἴγε καὶ ὁδεύειν, εἴγε καὶ ὁδῷ ὑπολαμβάνειν, καὶ πράσσειν. δύο ταῦτα κοινὰ, τῇ τε τοῦ θεοῦ, καὶ τῇ τοῦ ἀνθρώπου, καὶ παντὸς λογικοῦ ζώου ψυχῇ, τὸ μὴ ἐμποδίζεσθαι ὑπ' ἄλλου. καὶ τὸ ἐν τῇ δικαιικῇ διαθέσει καὶ πράξει ἔχειν τὸ ἀγαθόν. καὶ ἐνταῦθα τὴν ὄρεξιν ἀπολήγειν. Εἰ μήτε κακία ἐστὶ τοῦτο ἐμὴ, μήτε ἐνέργεια κατὰ κακίαν ἐμήν· μήτε τὸ κοινὸν βλάπτεται, τί ὑπὲρ αὐτοῦ διαφέρομαι; τίς δὲ βλάβη τοῦ κοινοῦ; μὴ ὁλοσχερῶς τῇ φαντασίᾳ συναρπάζεσθαι· ἀλλὰ βοηθεῖν μὲν κατὰ δύναμιν καὶ κατ' ἀξίαν, κἂν εἰς τὰ μέσα ἐλαττῶνται. μὴ μέντοι βλάβην αὐτὸ φαντάζεσθαι, κακὸν γὰρ ἔθος. ἀλλ' ὡς ὁ γέρων ἀπελθὼν τὸν τοῦ θρεπτοῦ ῥόμβον ἀπῄτει μεμνημένος ὅτι ῥόμβος· οὕτως οὖν καὶ

ὧδε. ἐπεί τοι γίνῃ καλῶν ἐπὶ τῶν ἐμβόλων. ἄνθρωπε ἐπελάθου τί ταῦτα ἦν; ναὶ ἀλλὰ τούτοις περισπούδαστα. διὰ τοῦτ' οὖν καὶ σὺ μωρὸς γένῃ; ἐγενόμην ποτὲ ὁπουδήποτε καταλειφθεὶς εὔμοιρος ἄνθρωπος, τὸ δὲ εὔμοιρος ἀγαθὴν μοῖραν σεαυτῷ ἀπονείμας. ἀγαθαὶ δὲ μοῖραι, ἀγαθαὶ τροπαὶ ψυχῆς, ἀγαθαὶ ὁρμαί, ἀγαθαὶ πράξεις.

# ΜΑ'ΡΚΟΥ 'ΑΝΤΩΝΙ'ΝΟΥ αὐτοκράτορος, τῶν εἰς ἑαυτὸν Βιβλίον ς.

Η ΤΩΝ ὅλων οὐσία, εὐπειθὴς, καὶ εὐτρεπής· ὁ δὲ ταύτην διοικῶν λόγος οὐδεμίαν ἐν ἑαυτῷ αἰτίαν ἔχει τοῦ κακοποιεῖν. κακίαν γὰρ οὐκ ἔχει, οὐδέ τι κακῶς ποιεῖ· οὐδὲ βλάπτεταί τι ὑπ' ἐκείνου. πάντα δὲ κατ' ἐκεῖνον γίνεται, καὶ περαίνεται. Μὴ διαφέρου πότερον ῥιγῶν, ἢ θαλπόμενος τὸ πρέπον ποιεῖς· καὶ πότερον νυστάζων, ἢ ἱκανῶς ὕπνου ἔχων, καὶ πότερον κακῶς ἀκούων, ἢ εὐφημούμενος, καὶ πότερον ἀποθνήσκων, ἢ πράττων τι ἀλλοῖον. μία γὰρ τῶν βιωτικῶν πράξεων

καὶ